δὴ ἐπανελθόντες, ἔφασαν ἴασιν εἶναι μόνην ταύτην εἰ διὰ πάσης τιμῆς ἄγοιεν τὸν θεόν. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι, φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν. καὶ τούτοις ἐγέραιρον τὸν θεόν, ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως δὲ, ὅτι παίδων γενέσεως, αἴτιος ὁ θεός. ἡδονὴν γὰρ καὶ ἀφροδίσια μέθη ἐξανίστησι. τοιγαροῦν καὶ ὁ Λάϊος ἐκδοὺς ἑαυτὸν μέθῃ, εἰς τὸ βακχεῖον πεσὼν, ἐφύτευσε παῖδα. φαλλὸς δὲ, τὸ πέος. παίζει δὲ πρὸς τὸν οἰκέτην. Ξανθίας γὰρ οἰκετικὸν ὄνομα. κέχρηται δὲ αὐτῷ καὶ ἐν Βατράχοις ὁ Ξανθίας. ποῦ Ξανθίας. εἰσὶ δὲ καὶ ἐν τῇ κωμῳδίᾳ οἰκέται. Ξανθίας. Τίβιος. Σωσίας. Δᾶος. Πέτας. Τὴν ἐτνήρυσιν.] τὴν ζωμάρυστρον ἐν ᾗ τὸ ἔτνος ἀρύονται. καθάρειον δὲ εἰς ὑπερβολὴν τὸ ὄνομα.

A ἔστι δὲ καὶ τοῦτο ἀστεῖον καὶ πεπαιδευμένῳ ἁρμόζον, μηδὲ τῶν κατὰ τὴν οἰκίαν σκευῶν τῆς καθημερινῆς χρείας, ἀγνοεῖν τὰ ὀνόματα. ἐτνήρυσιν οὖν ἐκάλεσε, παρὰ τὸ ἐν αὐτῇ ἀρύεσθαι τὸ ἔτνος. λέγομεν δὲ ἐτνήρυσιν περὶ τὸ ταρασσόμενον. ἔτνος δὲ ἔλεγον, τὴν ἀθάραν, καὶ τὸ πίσινον ἀφέψημα. ὡς καὶ ἐν Βατράχοις. ἤδη ποτ' ἐπεθύμησας ἔτνους; Τοῦ 'λατῆρος.] ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ. ἔνθεν καὶ ἡ ἐπωνυμία, παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. ἐλατῆρος οὖν τοῦ πέμματος. ἔ-

B στι δὲ ἄρτος πλατὺς ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τῷ βωμῷ. ἐλατὴρ δὲ πᾶν τὸ πλατύ. εἰσὶ δὲ καὶ λαγαρώδεις, παρὰ τὸ λαγαρόν. καὶ πελανοὶ παρ' Εὐριπίδῃ.

Οἴσει, βλέπουσα θυμβροφάγον. ὡς μακάριος
Ὅστις σ' ὀπύσει, κἀκποιήσεται γαλᾶς
Σοῦ μηδὲν ἧττον βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
Πρόβαινε κἀν τῷ 'χλῳ φυλάττεσθαι σφό-
δρα,
Μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.
Δι. Ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
Ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου.
Ἐγὼ δ' ἀκολουθῶν, ᾄσομαι τὸ φαλλικόν.
Σὺ δ' ὦ γύναι θεῶ μ' ἀπὸ τοῦ τέγους, πρόβα.
Φαλῆς, ἑταῖρε Βακχείου.
Σύγκωμε, νυκτοπεριπλάνη-
τε, μοιχὲ, παιδεραστά.
Ἕκτῳ σ' ἔτει προσεῖπον ἐς
Τὸν δῆμον ἐλθὼν ἄσμενος
Σπονδὰς ποιησάμενος ἐμαυ-
τῷ πραγμάτων τε καὶ μαχῶν,
Καὶ λαμάχων ἀπαλλαγείς.
Πολλῶν γάρ ἐστιν ἥδιον, ὦ Φαλῆς, Φαλῆς.
Κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον,
Τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως,
Μέσην λαβόντ' ἄραντα κατα-
βαλόντα, καταγιγαρτίσ' ὦ
Φαλῆς, Φαλῆς.
Ἐὰν μεθ' ἡμῶν ξυμπίῃς ἐκ κραιπάλης,
Ἕωθεν εἰρήνης ῥοφήσεις τρύβλιον,
Ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.

*Vide, intuens humum sic liberaliter.*
*Beatum, qui te uxorem duxerit sibi,*
*Effeceritque, ut non minus pedas, ubi*
*Erat diluculum, quàm felis quæpiam.*
C *Progredere: & nequis in turba tibi clanculum*
*Arrodat aurum filia, sedulò caue.*
*Di. Hem Xanthia, vobis rectus tenendus est*
*Penis, qui cistiferam sequitur à tergo. Ego*
*Ponè sequens cantilenam de pene accinam.*
*Tu mulier à tecto me spectato: præi.*
*Phales, amice Liberi*
*Congerro, adulter noctiuage,*
*Corruptor masculorum:*
D *Sexto nunc anno te alloquor:*
*Vt vicum adeas meum lubens.*
*Fœdúsque pacíscaris mihi,*
*Et ab hisce turbis, præliis*
*Ac Lamacho me liberes.*
*Nam multò iucundius est ô Phales, Phales,*
*Hanc Strymodori ancillam nubilem,*
*In sylua ligna colligentem, è Phelleo*
E *Corripere mediam, tollere,*
*Prosternere, & permolere ibi. ô*
*Phales, Phales.*
*Si tu nobiscum compotabis ex crapula:*
*Pacis catinum sorbebis diluculò.*
*Et clypeus in pruna lucebit pendulus.*

Σχόλια. Θυμβροφάγον.] ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον. παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες, ἀφελέστεροι καὶ ἐπιεικέστεροι. τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ καὶ τοῦτο ἄγριον φυτόν. ἢ πικρὸν καὶ δριμὺ κατὰ τῶν ἐχθρῶν. δριμὺ γὰρ τὸ φυτόν. οἱ δὲ ἀντὶ τοῦ δριμὺ καὶ ἱλαρόν. τινὲς δὲ τῷ θύμῳ παραπλήσιον. ἢ ἁπαλόν. ἡδύ. κωμικῶς δὲ ἔπαιξεν. Γαλᾶς.] ἀντὶ τοῦ παῖδας δριμυτάτους. τοῦτο δὲ σχῆμα καλεῖται παρὰ προσδοκίαν. ἔδει γὰρ ἐκφάναι, ἐκποιήσεται παῖδας νεανίας. Ἐπειδὰν ὄρθρος ᾖ.] παρόσον ἐν τῷ ὄρθρῳ δοκοῦσιν οἱ ἄνθρωποι συνεχῶς βδέειν, διὰ τὸ τότε τὰς πέψεις γίνεσθαι. Πρόβαινε.] ὡς ἐπὶ ὄχλου πομπευόντων αὐτὸ λέγει, φυλάττεσθαι δὲ ἀντὶ τοῦ παρατηρεῖν φυλάττειν.

Bisetus. Ταῦτα οὕτω νοητέον. πρόβαινε, καὶ φυλάττου, εἴτε παρατήρει ἐν τῷ ὄχλῳ, καὶ τὰ ἑξῆς. ἢ, πρόβαινε, καὶ δεῖ σε φυλάττεσθαι. ἀλλὰ πιθανώτερον εἰ ταῦτα λάβοις οὕτως, πρόβαινε, καὶ μέμνησο φυλάττεσθαι. τοῦτο δὲ συντόμως, καὶ ἐλλειπτικῶς εἴρηται διὰ τὴν πρὸς ἀλλαμείζω σπουδήν.

Σχόλια. Ὀρθὸς ἑκτέος.] ὑμῖν δ' ἐστὶν ὁ φαλλὸς κα-
F ταχετέος βαστακτέος ἑπομένοις τῇ κανηφόρῳ. ἅμα δὲ καὶ πρὸς τὸ κακέμφατόν ἐστιν ὁ φαλλὸς, τὸ πρὸς μίμησιν τοῦ αἰδοίου. καὶ τοῦτο δὲ παίζει κωμικῶς λέγων, τὸν φαλλὸν ὀρθὸν κατέχειν ὄπισθεν τῆς παρθένου. Ἄσομαι τὸ φαλλικόν.] ᾄσματα λέγονται φαλλικὰ, τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη. ἔστι δὲ εἰς Διόνυσον ἢ ἄλλοτε εἰς Πρίαπον. Φαλῆς ἑταῖρε.] διπλῆ καὶ μέλος. οὗ ἡγεῖται περίοδος. ἡ περικοπὴ κώλων ιζ τοῦ ὑποκειμένου. ἧς πρῶτα μέν εἰσιν ή, ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα ἀκατάληκτα μὲν β. τὸ δὲ γ καταληκτικόν. τὰ δὲ ἄλλα έ, καταληκτικά. περισπωμένως δὲ τὸ Φαλῆς ἀναγνωστέον
G ὡς Ἑρμῆς. οὕτω δὲ Ἀττικοὶ, παρὰ Δωριεῦσι δὲ βαρυτόνως. ὁ δ' αὖ Φάλης κατακυπτάζει. οὕτω Σώφρων ἐχρήσατο. ὥσπερ δὲ Ὅμηρος ἥρμοσε κατάπληξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτὴν ἔφησεν εἶναι, θεσπεσίη ἔχε φύζα εἰσπὼν φόβου κρυόεντος ἑταίρη. οὕτω καὶ ὁ κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς, Διονύσῳ τὸν φαλλὸν ἑταῖρον εἶναί φησιν. ἀκόλουθα γὰρ Διονυσιακῷ ποτῷ τὰ ἀφροδίσια. μαρτυρεῖ δὲ